νον ἐν τοῖς συσχηματιζομένοις, εἰ μὲν ἐν τοῖς τριγώνοις εἶεν ἢ ἑξαγώνοις, ἥττονας ποιοῦσι τὰς συμπαθείας, εἰ δ᾽ ἐν τοῖς τετραγώνοις, ἥττονας τὰς ἀντιπαθείας. διὰ γίνεσθαί τινας κατὰ καιρούς, ἐν μὲν ταῖς φιλίαις ἀποσιωπήσεις καὶ μικρολογίας, ὅταν οἱ κακοποιοὶ τῶν συσχηματισμῶν παροδεύωσιν ἐν ταῖς ἔχθραις, σπονδὰς καὶ ἀποκαταστάσεις κατὰ τὰς τῶν ἀγαθοποιῶν συσχηματισμῶν ἐπεμβάσεις. ἐπειδὴ φιλίας καὶ ἔχθρας εἴδη τρία. ἢ γὰρ διὰ προαίρεσιν οὕτως ἔχουσι πρὸς ἀλλήλους ἢ διὰ χρείαν, ἢ διὰ ἡδονὴν καὶ λύπην. ὅταν μὲν γὰρ οἱ πάντες ἢ οἱ πλείους τῶν εἰρημένων οἰκειωθῶσι πρὸς ἀλλήλους, ἐκ πάντων ἡ φιλία συνάγεται τῶν εἰδῶν, ὥσπερ ὅταν ἀνοίκειοι, ἡ ἔχθρα. ὅταν δὲ οἱ τῶν φώτων μόνον, διὰ προαίρεσιν, ἥτις ἐστὶ φιλία βελτίστη καὶ ἀσφαλεστάτη, ἢ χειρίστη καὶ ἄπιστος, ὁμοίως δ᾽ ὅταν οἱ κλῆροι τῆς τύχης, διὰ χρείαν. ὅταν δὲ οἱ τῶν ὡροσκόπων δι᾽ ἡδονὰς, ἢ λύπας. παρατηρητέον δὲ, τῶν συσχηματιζομένων τόπων, τάς τε καθυπερτερήσεις, καὶ τῶν ἀστέρων ἐπιθεωρήσεις, ἐφ᾽ ὧν μὲν αἱ γενέσεων ἢ, ἡ τοῦ σχηματισμοῦ καθυπερτέρησις, ἢ ἐὰν τὸ αὐτὸ ἔγγιστα ζώδιον ἢ τῇ ἐπαναφορᾷ, ἐκείνῃ τὸ αὐθεντικώτερον τῆς φιλίας, ἢ τῆς ἔχθρας προσνεμητέον. ἐφ᾽ ὧν δὲ, ἡ ἐπιθεώρησις τῶν ἀστέρων βελτίων, πρὸς ἀγαθοποιίαν καὶ δύναμιν ἐκείνης, τό, τε ἐκ τῆς φιλίας ὠφελιμώτερον, καὶ τὸ ἐκ τῆς ἔχθρας ἀποδοτικώτερον κατορθωτέον. ἔτι δὲ τῶν κατὰ χρόνους πως συνισταμένων προσκαίρων συναστριῶν τε καὶ ἐναντιώσεων, προσεκτέον ταῖς καθ᾽ ἑκατέραν γένεσιν κινήσεσι τῶν ἀστέρων, τουτέστι κατὰ ἰδίους χρόνους, αἱ τῶν τῆς ἑτέρας γενέσεως ἀστέρων, γίνονται γὰρ κατὰ τούτους φιλίαι καὶ ἔχθραι μερικαί, καὶ διακρατοῦσι χρόνον ὀλιγοστὸν μὲν τὸν μέχρι τῆς διαλύσεως αὐτῆς, πλεῖστον δὲ τὸν μέχρι τῆς ἑτέρου τινὸς τῶν ἐπιφερομένων ἀστέρων καταλήψεως. ♄ μὲν οὖν καὶ ♃, ἐπελθόντες τοῖς ἀλλήλων τόποις, ποιοῦσι φιλίας διὰ συστάσεως ἢ γεωργίας ἢ κληρονομίας. ♄ δὲ καὶ ♂ μάχας καὶ ἐπιβουλὰς τὰς κατὰ προαίρεσιν. ♄ δὲ καὶ ♀ συνεπιπλοκὰς, διὰ συγγενῶν προσώπων, τάχει μέντοι ψυχούσας. ♄ δὲ καὶ ☿, συγγενείας καὶ συμβιώσεις διδόασι, καὶ διὰ δόσιν καὶ λῆψιν καὶ ἐμπορίαν ἢ μυστήρια. ♃ δὲ καὶ ♂. ἑταιρίας δι᾽ ἀξιωματικῶν ἢ οἰκονομικῶν. ♃ δὲ καὶ ♀, φιλίας τὰς διὰ καθολικῶν προσώπων τῶν ἐν ἱεροῖς θρησκειῶν, ἢ χρησμῶν ἢ τῶν τοιούτων. ♃ δὲ καὶ ☿, συναναστροφὰς, διὰ λόγους καὶ ἐπιστήμας, καὶ προαίρεσιν φιλόσοφον. ♂ δὲ καὶ ♀, συνεπιπλο-